προδιδόντων φαυλότεροι; ἀλλ' ὅμως ὁ τούτων ἁλοὺς ἀναμένει τοὺς κρίνοντας, καὶ οὔτε προδότης ὑπέσχε τὴν δίκην μὴ τοῦ δικαστοῦ ψῆφον ἐπάγοντος, οὔτε ἀνδροφόνῳ πεσεῖν ὑπῆρχε μὴ τοῦ κατηγόρου τὸ πάθος ἐλέγχοντος, οὔτε τοῖς ὑφαιρουμένοις τὰ τῶν κρειττόνων παθεῖν, πρὶν ταῦτα μαθεῖν παρέστη τοῖς κρίνουσιν. οὐκοῦν ἄτοπον τὰ μὲν μείζω δίκην ὑπέχειν παρὰ τοῖς κρίνουσι καὶ μὴ δοκεῖν τι τούτων ὡς ἕκαστον, ἂν μὴ δικαστὴς ἐπενέγκῃ τὴν ψῆφον, μοιχὸν δὲ μόνον πεσεῖν ἀνεξέταστον, ὃν πρὸ τῶν ἄλλων ἔδει κρίνειν ὅσῳ τῶν ἄλλων καταδεέστερον.

'Καὶ τί διοίσει μοιχὸν ἀνελεῖν ἢ παραδοῦναι τοῖς δικασταῖς, εἰ τὸν ἴσον ἐξ ἀμφοῖν ὑποστήσεται θάνατον;'

Ὅσον τυράννου καὶ νόμου τὸ μέσον καὶ δημοκρατίας πρὸς τὰς μοναρχίας ὅσον διάφορον. τυράννου μὲν γὰρ ἀνελεῖν, ὃν ἂν βούλοιτο, νόμου δὲ κτεῖναι δικαίως τὸν ἐλεγχόμενον. καὶ δῆμος μέν, ὅσα ἂν ἐκκλησιάζων σκοπῇ, πρὸς ἐξέτασιν τίθησι, μοναρχία δὲ κολάζει μέν, οὐ συνεξετάζει δέ, ἃ συναμφότερα δῆμος καὶ νόμος ἐξ ἐναντιωμάτων ἅπαντα πέπραχε πρὸς τὸν μόνον ἄρχειν καὶ τυ-

---

1 ⌊οὐ del. m.2⌉ φαυλότεροι Vc οὐ ante τῶν Vδ τούτων V τούτοις P ἁλ⌊οὺ ex ω⌉ς Pa 4 ὑπῆρξε P (cf. ann. 6) 6 ante παθεῖν add. ὑπῆρξε VcBa (eratne correctura ad l. 4?), ὑπῆρχε Ac γρ ὑπῆρξε παθεῖν τι Pa γρ' ὑπῆρξε τί παθεῖν Pc 8 τι m. po. add. Ba τοῦτο m. 1, τούτων m. po. V 10 πρὸ⌊ς eras.⌉ Vc ἔδει sic Ba post κρίνειν transp. P om. Ac, v. l. P postea add. (m. 2?) Vc ὅσω PVcAc ὡς Ba, m. 2 Vc 12 διοίσ⌊ει⌉ Vc διαφέρει BaAc 15 διαφέρον VcAc τὸ διαφέρον Vδ γὰρ om. Ac 16 βούληται coni. Spengel 18 Dox. (Wc; deest apud Walzium): 'μοναρχία δὲ κολάζει μὲν ἃ συναμφότερα δῆμος καὶ νόμος ἐξ ἐναντιωμάτων δὲ ἅπαντα πέπραχε . . .' δοκοῦσι παρέλκειν οἱ σύνδεσμοι ὁ μέν καὶ ὁ δέ· τοῦτο δῆλον καὶ ἐκ τοῦ τισὶ τῶν βιβλίων μηδ' ὅλως ἐγκεῖσθαι κολάζει ⌊μὲν οὐ συνεξετάζει del.⌉ δὲ ⌊ἃ συν add. m. po.⌉ ἀμφότερ⌊ον m. po. ex α⌉ Ba κολάζει μὲν ἃ συναμφότερον VcAc, (mg. m. 1 κολάζει μὲν οὐ συνεξετάσει δέ) P 19 τε καὶ Ba νόμος PAc νόμοι VcBa 20 δὲ m. po. add. ante ἅπαντα PcAc μοναρχεῖν Ba